571-2

# Θ.

## ΜΙΧΑΗΛ ΨΕΛΛΟΥ

## ΕΡΜΗΝΕΙΑΙ ΕΙΣ ΔΗΜΩΔΕΙΣ ΔΕΙΣΙΔΑΙΜΟΝΙΑΣ.

### 1. Τί ἐστι Βαβουτζικάριος (1).

Ὁ μέν τοι Βαβουτζικάριος ἐξ Ἑλληνικῆς φλυαρίας παρεισεφθάρη τῷ βίῳ· ἔνεστι γάρ που τοῖς Ὀρφικοῖς ἔπεσι Βαβώ τις ὀνομαζομένη δαίμων νυκτερινή, ἐπιμήκης τὸ σχῆμα, καὶ σκιώδης τὴν ὕπαρξιν. Ἱστορεῖ δὲ καὶ Πορφύριος ὁ φιλόσοφος περὶ τούτων (2) ἔθνος δὲ οὗτοι βόρειόν τε καὶ βάρβαρον· πολλοῖς τοιούτοις ἐπτυχηκέναι νυκτερινοῖς φάσμασιν, ἃ δή φασι νυκτὸς μὲν ἐπικαίειν, ἡμέρας δὲ ἐντυγχάνειν τοῖς ἐπικαυθεῖσι λεπτοῖς τισι καὶ ἀμαυροῖς σώμασι, νήμασιν ἀραχνίοις προσεοικόσιν. Ἀπὸ γοῦν τῆς Βαβοῦς ὁ Βαβουτζικάριος παρὰ τοῖς πολλοῖς ἀνεπλάσθη. Καὶ ἔστι μὲν οὐδαμοῦ ἐπιχωριάζων τῷ βίῳ, ἀλλ' οἱ δειλότεροι τῶν ἀνθρώπων εἶναι δὴ τοῦτον τὸν δαίμονα πλάττουσιν. Ἦν γάρ τις κἀμοὶ ἀνθρωπίσκος, ἀγενὴς μὲν τὴν ψυχήν, λογοποιὸς δὲ οὐχ ἥκιστα. Τούτῳ γοῦν οὐ νυκτὸς μόνον, ἀλλὰ καὶ ἡμέρας τὰ τοιαῦτα παρυφίστατο φάσματα· ἑώρα γοῦν τὸ μὴ ὄν, ὥς περ ὁ Ὀρέστης τὰς Εὐμενίδας· καὶ ἔπλαττε τὸ ἀνύπαρκτον

(1) Ἐκ τοῦ Ἀλλατίου De Graecorum hodie quorundam opinationibus, σελ. 139-140.

(2) Πιθανῶς ἐξέπεσε τὸ ὄνομα τοῦ ἔθνους.